ΗΛΕΚΤΡΑ.

Ἰδού, φίλαν τε κοὐ φίλαν
φάρεά σέ γ' ἀμφιβάλλομεν,
τέρμα κακῶν μεγάλων δόμοισιν.

ΧΟΡΟΣ.

Ἀλλ' οἵδε δόμων ὑπὲρ ἀκροτάτων
φαίνουσί [1] τινες δαίμονες, ἢ θεῶν
τῶν οὐρανίων· οὐ γὰρ θνητῶν γ'
ἥδε κέλευθος. Τί ποτ' εἰς φανερὰν
ὄψιν βαίνουσι βροτοῖσιν;

ΔΙΟΣΚΟΡΟΙ.

Ἀγαμέμνονος παῖ, κλῦθι· δίπτυχοι [2] δέ σε
καλοῦσι μητρὸς σύγγονοι Διόσκοροι,
Κάστωρ κασίγνητός τε Πολυδεύκης ὅδε [3].
Δεινὸν δὲ ναὸς [3] ἀρτίως πόντου σάλον
παύσαντ' ἀφίγμεθ' Ἄργος, ὡς εἰσείδομεν
σφαγὰς ἀδελφῆς τῆσδε, μητέρος δὲ σῆς.
Δίκαια μέν νυν ἥδ' ἔχει· σὺ δ' οὐχὶ δρᾷς,
Φοῖβός τε, Φοῖβος [5] — ἀλλ' ἄναξ γάρ ἐστ' ἐμ
σιγῶ· σοφὸς δ' ὢν οὐκ ἔχρησέ σοι σοφά.
Αἰνεῖν [6] δ' ἀνάγκη ταῦτα. Τἀντεῦθεν δὲ χρὴ
πράσσειν ἃ μοῖρα Ζεύς τ' ἔκρανε σοῦ πέρι.
Πυλάδῃ μὲν Ἠλέκτραν δὸς ἄλοχον εἰς δόμους,
σὺ δ' Ἄργος ἔκλιπ'· οὐ γὰρ ἔστι σοι πόλιν
τήνδ' ἐμβατεύειν, μητέρα κτείναντα σήν.
Δειναὶ δὲ Κῆρές σ' [7], αἱ κυνώπιδες θεαί,
τροχηλατήσουσ' ἐμμανῆ πλανώμενον.
Ἐλθὼν δ' Ἀθήνας, Παλλάδος σεμνὸν βρέτας
πρόσπτυξον· εἵρξει γάρ νιν ἐπτοημένας

V. 1218. Φίλαν.... φίλαν Seidlerus. Codices φίλαι... φίλαι. — 1219. Φάρεα δέ γ' duo Florr. et Par. D. E. Tertius Par. φ. δ' ἀμφ. — 1220. Τε δόμοισιν codd. omnes. — 1230. Codices omnes ὡς εἴδομεν pro εἰσείδομεν, simili errore quo in Iphig. Aul. v. 169 præbent libri ὡς ἴδοιμ' ἄν, pro ὡς ἐσιδοίμαν.